CH III

# ῾ΕΡΜΟΥ ΙΕΡΟΣ ΛΟΓΟΣ

(1)
Δόξα πάντων ὁ θεὸς καὶ θεῖον καὶ φύσις θεία.
ἀρχὴ τῶν ὄντων ὁ θεός, καὶ νοῦς καὶ φύσις καὶ ὕλη, σοφία εἰς δεῖξιν ἁπάντων ὤν·
ἀρχὴ τὸ θεῖον καὶ φύσις καὶ ἐνέργεια καὶ ἀνάγκη καὶ τέλος καὶ ἀνανέωσις.

ἦν γὰρ σκότος ἄπειρον ἐν ἀβύσσῳ καὶ ὕδωρ καὶ πνεῦμα λεπτὸν νοερόν,
δυνάμει θείᾳ ὄντα ἐν χάει.
ἀνείθη δὴ φῶς ἅγιον
καὶ ἐπάγη ὑφ᾽ ἄμμῳ ἐξ ὑγρᾶς οὐσίας στοιχεῖα
καὶ θεοὶ πάντες καταδιερῶσι φύσεως ἐνσπόρου.
(2)
ἀδιορίστων δὲ ὄντων ἁπάντων καὶ ἀκατασκευάστων,
ἀποδιωρίσθη τὰ ἐλαφρὰ εἰς ὕψος καὶ τὰ βαρέα ἐθεμελιώθη ἐφ᾽ ὑγρᾷ ἄμμῳ,
πυρὶ τῶν ὅλων διορισθέντων καὶ ἀνακρεμασθέντων πνεύματι ὀχεῖσθαι·

καὶ ὤφθη ὁ οὐρανὸς ἐν κύκλοις ἑπτά,
καὶ θεοὶ [ταῖς] ἐν ἄστρων ἰδέαις ὀπτανόμενοι,
σὺν τοῖς αὐτῶν σημείοις ἅπασι,
καὶ διηρθρώθη (ἡ φύσις) σὺν τοῖς ἐν αὐτῇ θεοῖς,

καὶ περιειλίχθη τὸ περικύκλιον ἀέρι,
κυκλίῳ δρομήματι πνεύματι θείῳ ὀχούμενον.
(3)
ἀνῆκε δὲ ἕκαστος θεὸς διὰ τῆς ἰδίας δυνάμεως τὸ προσταχθὲν αὐτῷ,
καὶ ἐγένετο θηρία τετράποδα καὶ ἑρπετὰ καὶ ἔνυδρα καὶ πτηνὰ
καὶ πᾶσα σπορὰ ἔνσπορος καὶ χόρτος καὶ ἄνθους παντὸς χλόη·
τὸ σπέρμα τῆς παλιγγενεσίας ἐν ἑαυτοῖς.

ἐσπερμολόγουν τάς τε γενέσεις τῶν ἀνθρώπων
εἰς ἔργων θείων γνῶσιν
καὶ φύσεως ἐνεργοῦσαν μαρτυρίαν
καὶ πλῆθος ἀνθρώπων
καὶ πάντων τῶν ὑπὸ οὐρανὸν δεσποτείαν
καὶ ἀγαθῶν ἐπίγνωσιν,

εἰς τὸ αὐξάνεσθαι ἐν αὐξήσει καὶ πληθύνεσθαι ἐν πλήθει.

καὶ πᾶσαν ἐν σαρκὶ ψυχὴν
διὰ δρομήματος θεῶν ἐγκυκλίων τερασπορίας,
εἰς κατοπτείαν οὐρανοῦ καὶ δρομήματος οὐρανίων θεῶν
καὶ ἔργων θείων καὶ φύσεων ἐνεργείας
εἴς τε σημεῖα ἀγαθῶν,
εἰς γνῶσιν θείας δυνάμεως,
μοίρης ὀχλουμένης γνῶναι ἀγαθῶν καὶ φαύλων,
καὶ πᾶσαν ἀγαθῶν δαιδαλουργίαν εὑρεῖν.
(4)
ἄρχεται αὐτῶν βιῶσαί τε καὶ σοφισθῆναι πρὸς μοῖραν
δρομήματος κυκλίων θεῶν
καὶ ἀναλυθῆναι εἰς ὃ ἔσται μεγάλα ἀπομνημονεύματα
τεχνουργημάτων ἐπὶ τῆς γῆς,
καταλιπόντες ἐν ὀνόματι χρόνων ἀμαύρωσιν καὶ πᾶσαν γένεσιν
ἐμψύχου σαρκὸς καὶ καρποῦ σπορᾶς καὶ πάσης τεχνουργίας.

τὰ ἐλαττούμενα ἀνανεωθήσεται ἀνάγκῃ καὶ ἀνανεώσει θεῶν
καὶ φύσεως κύκλου ἐναριθμίου δρομήματι.

τὸ γὰρ θεῖον ἡ πᾶσα κοσμικὴ σύγκρασις
φύσει ἀνανεουμένη· ἐν γὰρ τῷ θείῳ
καὶ ἡ φύσις καθέστηκεν.